εἰς τὴν ἀπόδειξιν τοῦ, ὅτι κακὸν μὲν τὸ ἄδικον, καλὸν δὲ τὸ δίκαιον, καὶ ὅτι τὸ μὲν ἄδικον θέσει, τὸ δὲ δίκαιον φύσει· εἰ γὰρ τὸ δίκαιον ἦν θέσει, ὁ αὐτὸς ἂν ἦν καὶ δίκαιος καὶ ἄδικος καὶ θεοφιλὴς καὶ θεομισής· ὁ γὰρ παρὰ Πέρσαις δίκαιος ὁ κελεύων μίγνυσθαι ταῖς μητράσιν παρ' ἡμῖν ἄδικός ἐστι, καὶ ὁ παρ' ἡμῖν ἄδικος παρ' ἐκείνοις δίκαιος· οὐκ ἄρα οὖν θέσει ἀλλὰ φύσει ὡς τελειότερον εἴρηται ἐν τῷ Ἀλκιβιάδῃ· καὶ ὁ λέγων τὸ ἄδικον καλὸν τὸ δὲ δίκαιον κακὸν ἔοικεν, ὥς φησιν ὁ Πλάτων ἐν τῷ Φαίδρῳ, τῷ λέγοντι, ὅτι ὁ ἵππος φαίνεται ἵππος, ἐπεὶ ὄνου ἔργα ἔχει, καὶ ὁ ὄνος ἵππου ἔργα ἔχει· ὁ τοιοῦτος γὰρ τῷ μὲν ἵππῳ ἀντὶ ὄνου χρήσεται, τῷ δὲ ὄνῳ ἀντὶ ἵππου καὶ ἐκβαλὼν ἐν πολέμῳ τὸν ὄνον ὡς ἵππον πειραθήσεται πολλῶν κακῶν· καλῶς δὲ ἐπήγαγεν οὐκοῦν καὶ ἄλλους δύνασαι ποιῆσαι, διότι ἕν ἐστι τῶν χαρακτηριζόντων τὸν ἐπιστήμονα τὸ καὶ ἄλλους δύνασθαι ποιεῖν ἐπιστήμονας, ὡς καὶ ἐν τῷ Ἀλκιβιάδῃ εἴρηται.

p. 449b. τὸ μὲν ἐρωτῶν, τὸ δὲ ἀποκρινόμενος.

τῶν ἐρωτήσεων αἵ μέν εἰσι διαλεκτικαί, αἳ τὸ ναὶ ἢ οὔ ἔχουσι μόνον πρὸς ἀπόκρισιν, αἵ δὲ πυσματικαί, αἵ διὰ μακρῶν λόγων ἔχουσαι τὰς ἀποκρίσεις· φησὶν οὖν ὅτι διατέλεσον οὕτως ὦ Γοργία κατὰ ἐρώτησιν καὶ ἀπόκρισιν διαλεγόμενος· θαυμαστὸν γὰρ τοῦτο· ἑαυτοῦ γὰρ κατήγορος γίνεται ὁ νικώμενος· ἐν γὰρ τοῖς κατὰ ἀποτάδην λόγοις φησίν, ὅτι οὐκ ἐγὼ τοῦτο εἶπον ἀλλὰ σὺ συνεπέρανας. 11

p. 449b. εἰσὶ μέν, ὦ Σώκρατες.

λέγει ὁ Γοργίας, ὅτι ὑπάρχουσι μέν τινες τῶν ἐρωτήσεων καὶ μακροῦ λόγου χρήζουσαι, ὅμως δὲ καὶ ἐν ταύταις διὰ βραχυτάτου προαγάγω τὸν λόγον, οὕτως κεκόσμημαι κατὰ ἀλήθειαν γὰρ θαυμαστὸν τὸ πολλὰ δι' ὀλίγων περιλαμβάνειν. 12

7 Plat. Alcib. 109 c cf. Olympiod. in Plat. Alcib. p. 86  9 Plat. Phaedr. 260 b  16 Plat. Alcib. 110 e

8 δὲ supr. lin. add. M^c  11 ἀντὶ] sqq. ÷ ÷ in ras.